ϲπονδή· δίδου ϲὺ ϲπλάγχν' ἀκολουθῶν. ποῖ βλέπειϲ;
ϲπονδή. φέρ' ὦ παῖ Ϲωϲία. ϲπονδή. καλῶϲ
ἔχει. θεοῖϲ 'Ολυμπίοιϲ εὐχώμεθα
'Ολυμπίαϲι, πᾶϲι πάϲαιϲ—λάμβανε
τὴν γλῶτταν ἐν τούτωι—διδόναι ϲωτηρίαν,
ὑγίειαν, ἀγαθὰ πολλά, τῶν ὄντων τε νῦν
ἀγαθῶν ὄνηϲιν πᾶϲι. ταῦτ' εὐχώμεθα.

2 (293 K)

Athenaevs 434 c. Μένανδροϲ δὲ ἐν Κόλακί φηϲι·

(*ΒΙΑϹ*) κοτύλαϲ χωροῦν δέκα
ἐν Καππαδοκίαι κόνδυ χρυϲοῦν, Ϲτρουθία,
τρὶϲ ἐπέπιον μεϲτόν γε.
(*ϹΤΡΟΥΘΙΑϹ*) Ἀλεξάνδρου πλέον
τοῦ βαϲιλέωϲ πέπωκαϲ.
(*Βι.*) οὐκ ἔλαττον, οὐ
μὰ τὴν Ἀθηνᾶν.
(*Ϲτ.*) μέγα γε.

3 (297 K)

Plvtarchvs, *quomodo adulator* 57 a. καθάπερ ὁ Ϲτρουθίαϲ ϲυμπεριπατῶν τῶι Βίαντι καὶ κατορχούμενοϲ τῆϲ ἀναιϲθηϲίαϲ αὐτοῦ τοῖϲ ἐπαίνοιϲ "Ἀλεξάνδρου πλέον τοῦ βαϲιλέωϲ πέπωκαϲ" καὶ

γελῶ τὸ πρὸϲ τὸν Κύπριον ἐννοούμενοϲ.

4 (295 K)

Athenaevs 587 d. Μένανδροϲ δ' ἐν Κόλακι τάϲδε καταλέγει ἑταίραϲ·

Χρυϲίδα, Κορώνην, Ἀντίκυραν, 'Ιϲχάδα,
καὶ Ναννάριον ἔϲχηκαϲ ὡραίαν ϲφόδρα.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41693384X/180 UNIVERSITÄT LEIPZIG